**ἀοιδά**] (-ά, -ᾶς, -ᾷ, -άν, -ά; -αί, -ᾶν, -αῖς. ἀοι- codd. N. 11. 18, v. West at Hes., Theog. 48) *song*

ἰανθεὶς ἀοιδαῖς (sc. Ζεύς) O. 2. 13. θεόμοροι νίσοντ' ἐπ' ἀνθρώπους ἀοιδαί O. 3. 10. ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς O. 4. 3. ἐν ἱμερταῖς ἀοιδαῖς O. 6. 7. ἐσσὶ γὰρ — γλυκὺς κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν sc. Aineas, the chorus leader O. 6. 91. πόλιν μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς O. 9. 22. καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ O. 10. 91. μακρότεραι Τερψίᾳ θ' ἕψοντ' Ἐριτίμῳ τ' ἀοιδαί O. 13. 42. ἅλικες οἷα παρθένοι φιλέοισιν ἑταῖραι ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς P. 3. 19. ἁ δ' ἀρετὰ κλειναῖς ἀοιδαῖς χρονία τελέθει P. 3. 114. φορμιγκτὰς ἀοιδᾶν πατὴρ — Ὀρφεύς P. 4. 176. τὸν ἐν ἀοιδᾷ νέων πρέπει χρυσάορα Φοῖβον ἀπύειν P. 5. 103. κρηπῖδ' ἀοιδᾶν ἵπποισι βαλέσθαι P. 7. 3. ἐμὲ δ' οὖν τις ἀοιδᾶν δίψαν ἀκειόμενον πράσσει χρέος P. 9. 103. τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν P. 10. 57. ἀεθλονικία δὲ μάλιστ' ἀοιδὰν φιλεῖ N. 3. 7. πάτραν ἵν' ἀκούομεν, Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς πρόπολον ἔμμεναι N. 4. 78. ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά, στεῖχ' ἀπ' Αἰγίνας N. 5. 2. παροιχομένων γὰρ ἀνέρων, ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν (Pauw: ἀοιδοί codd., pap.) N. 6. 30. νεοθαλὴς δ' αὔξεται μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ N. 9. 49. λύρα δέ σφι βρέμεται καὶ ἀοιδά N. 11. 7. μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς (μελίζεν ἀοιδαῖς coni. Pauw.) N. 11. 18. Ὀγχηστίαισίν τ' ἀιόνεσσιν περιστέλλων ἀοιδὰν γαρύσομαι I. 1. 33. οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί I. 2. 8. οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι οὔτε κώμων — οὔτε μελικόμπων ἀοιδᾶν I. 2. 32. (φάμα) ἅ τε — ὤπασεν τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν (Σ, Tric.: ἀοιδάν, ἀοιδῶν codd.) I. 4. 27. μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ κιρνάμεν ἀντὶ πόνων I. 5. 24. εἴη δὲ — Αἴγιναν κάτα σπένδειν μελιφθόγγοις ἀοιδαῖς I. 6. 9. τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ †ἔλιπον (τι λίπον Schr. coni.: ἐπέλιπον Snell) I. 8. 56. ἄρδοντ' ἀοιδαῖς fr. 6b. f. ]ἀοιδαῖς ἐν εὔπλε[κέσσι Πα. 3. 12. ἀοιδᾶν ῥόθια δεκομένα κατερεῖς (sc. Αἴγινα) Πα. 6. 128. ⟨ἐν ἀοιδᾷ⟩ (supp. Snell e Σ pap.: fort. v. l.) Πα. 14. 20. ἀέ]ξετ' ἔτι, Μοῖσαι, θάλος ἀοιδᾶν[ Δ. 1. 15. ]εες τ' ἀοιδαί[ Δ. 3. 17. ἰοδέτων λάχετε στεφάνων τᾶν τ' ἐαριδρόπων ἀοιδᾶν, Διόθεν τέ με σὺν ἀγλαΐᾳ ἴδετε πορευθέντ' ἀοιδᾶν δεύτερον ἐπὶ τὸν κισσοδαῆ θεόν fr. 75. 8. σειρῆνα δὲ κόμπον αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς Παρθ. 2. 15. ἀνδρὸς δ' οὔτε γυναικὸς — χρή με λαθεῖν ἀοιδὰν πρόσφορον (i. e. *song for a man*) Παρθ. 2. 37. [ἀοιδᾷ (coni. Bergk: οἶδα codd.) fr. 107b. 1.] πρέπει δ' ἐσλοῖσιν ὑμνεῖσθαι — καλλίσταις ἀοιδαῖς fr. 121. 2. ἐρατᾶν ὄχημ' ἀοιδᾶν τοῦτό τοι πέμπω fr. 124. 1. ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ ὥριαι παιάνιδες Θρ. 3. 1. ἀοιδ[ὰν κ]αὶ ἁρμονίαν αὐλ[οῖς ἐ]πεφράσ[ατο (supp. Schr.) fr. 140b. 2. θεὸς ὁ πάντα τεύχων βροτοῖς καὶ χάριν ἀοιδᾷ φυτεύει fr. 141. κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς fr. 194. 1. c. gen., εἰ — (sc. καλὰ ἔργα) εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς N. 7. 16. θεσπεσία δ' ἐπέων καύχας ἀοιδὰ πρόσφορος (καύχαις coni. Benedictus) N. 9. 7. πρὶν μὲν ἕρπε σχοινοτένειά τ' ἀοιδὰ διθυράμβων καὶ τὸ σὰν κίβδηλον ἀνθρώποισιν ἀπὸ στομάτων Δ. 2. 1. pro pers., αἱ δὲ σοφαὶ Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι N. 4. 3. [dub. ex., v. μιμνάσκω frag.]

**κοιρᾶνέω**] *arrange* οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ κοιρανέοντι χοροὺς οὔτε δαῖτας O. 14. 9.

**Κοιρᾶνίδας**] *son of Koiranos*, Polyidos. δεῖξέν τε (sc. Βελλεροφόντας) Κοιρανίδᾳ πᾶσαν τελευτὰν πράγματος O. 13. 75.

**κοίρᾶνος**] *king* κοίρανος — Μέμνων N. 3. 62.

[**πτανός**, = ποτανός (codd. Dion. Hal. contra metr.: τ' coni. Blass) Πα. 9. 4.]

**πτάσσω**] (cf. πτώσσω.) *shrink back in awe* ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ ἥροες ἀντίθεοι P. 4. 57. [πτάξεις (coni. Edmonds: πτίξεις codd.) fr. 207.]

**πτερόεις**] (-όεις, -όεντι, -όεντ(α).) **a.** *winged* ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας — ἵππον πτερόεντ' O. 13. 86. 'Ιξίονα φαντὶ ταῦτα βροτοῖς λέγειν ἐν πτερόεντι τροχῷ παντᾷ κυλινδόμενον P. 2. 22. πτερόεντ' αἰετὸν P. 2. 50. πτερόεις — Πάγασος I. 7. 44. **b.** *feathered* πτερόεντα δ' ἵει γλυκὺν Πυθῶνάδ' ὀιστόν O. 9. 11. **c.** (= ποτανός) met., *soaring* καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον I. 5. 63. **d.** frag. πτε[ρ]οε[ fr. 1a. 7.

**πτερόν**] (-ά, -οῖσι(ν).) *wing* **a.** πτεροῖσίν τ' ἀκάμαντας ἵππους O. 1. 87. ἄνδρας πτεροῖσιν νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις P. 4. 183. **b.** met., *garland* ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν O. 14. 24. πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν P. 9. 125.

**πτέρυξ**] *wing* **a.** Διὸς αἰετός, ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις P. 1. 6. **b.** met. εἴη μιν εὐφώνων πτερύγεσσιν ἀερθέντ' ἀγλααῖς Πιερίδων — ἔρνεσι φράξαι χεῖρα (τοῖς ἐγκωμίοις μέλεσιν Σ.) I. 1. 64. **c.** frag. πτερ]ύγεσσι κ[ P. Oxy. 2447, fr. 53.

**Λύδιος**] *Lydian* ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς in the Lydian mode O. 5. 19. [Λυδίῳ (codd.: Λυδῷ coni. Pauw.) O. 14. 17.] ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ, Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος N. 4. 45. φέρων Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν (ἀλληγορικῶς τὸν ποικίλον ὕμνον οὕτως φησίν, — ὡς Λυδίῳ ἁρμονίᾳ γεγραμμένον. Σ.) N. 8. 15. παρὰ Λύδιον ἅρμα πεζὸς οἰχνέων (cf. Eustath., Comm. Il., 816. 39, Λυδοὶ ἐπρώτευον κατὰ τὸ ἱππεύειν, ὅθεν καὶ παροιμία τὸ "παρὰ Λ. ἅ." ἐπὶ τῶν πολὺ ὀπίσω ἀπολειπομένων) fr. 206. test., [Plut.], de mus., 15 (1136), Πίνδαρος δὲ ἐν παιᾶσιν ἐπὶ τοῖς Νιόβης γάμοις φησὶ Λύδιον ἁρμονίαν πρῶτον διδαχθῆναι Schr. fr. 64, quod ad Πα. 13. spectare censuit Snell.

**Λυδός**] *Lydian* ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ P. was son of Tantalos, king of Lydia O. 1. 24. Λυδὸς ἥρως Πέλοψ O. 9. 9. Λυδῷ γὰρ 'Ασώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον (Pauw: Λυδίῳ codd: i. e. the Lydian musical style) O. 14. 17. pro subs., ἐν δείπνοισι Λυδῶν ψαλμὸν ἀντίφθογγον ὑψηλᾶς ἀκούων πακτίδος (Schneider: Λύδιον codd.: sc. Τέρπανδρος) fr. 125. 2.

**κόμα**] (-ᾳ, -αν; -αι, -ᾶν, -αισ(ι)) s. & pl., *hair* ἀμφὶ κόμαισι βάλῃ — κόσμον ἐλαίας O. 3. 13. τρία ἔργα ποδαρκὴς ἀμέρα θῆκε κάλλιστ' ἀμφὶ κόμαις O. 13. 39. κομᾶν πλόκαμοι P. 4. 82. γέρας ἀμφέβαλε τεαῖσιν κόμαις P. 5. 31. δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες P. 10. 40. βελέων ὑπὸ ῥιπαῖσι κείνου φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν ἔνεπεν N. 1. 68. ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις ἔρνεσιν N. 11. 28. Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων I. 2. 15. ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία I. 7. 49. τότε χρύσεαι ἀέρος ἔκρυψαν κόμαι ἐπιχώριον κατάσκιον νῶτον ὑμέτερον Pindar speaks of Aigina, nymph and island Πα. 6. 138.

**χαίτα**] (-αν, -αισ(ι), -ας.) *hair* χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι O. 3. 6. νέαν — ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν O. 14. 24. κατένευσέν τέ οἱ χαίταις (sc. Ζεύς) N. 1. 14. (στέφανοι) τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις ἔρνεσιν χαίτας I. 1. 29. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόζων I. 7. 39. χαίταν στεφάνοις ἐκόσμηθεν Παρθ. 2. 48. ἔστι μοι πατρίδ' ἀρχαίαν κτενὶ Πιερίδ[ων? ὦ]στε χαίταν παρθένου ξανθ[ (sc. ἀγάλλειν, simm.) fr. 215. 7.

**χαιτάεις**] *with flowing hair* ὁ χαιτάεις — Λατοίδας P. 9. 5.

εὐφροσύνα, εὐφ'ροσύνα] *joy* (Τάνταλος) εὐφροσύνας ἀλᾶται i. e. *wanders from the path of happiness* O. 1. 58. τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις εὐφροσύνας μέρος P. 3. 98. 'Ιάσων — ξείνι' ἁρμόζοντα τεύχων πᾶσαν εὐφροσύναν τάνυεν P. 4. 129. τῶν εὐφροσύνα τε καὶ δόξ' ἐπιφλέγει P. 11. 45. ἄριστος εὐφροσύνα πόνων κεκριμένων ἰατρός N. 4. 1. ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν ἦτορ I. 3. 10. pro pers., one of the Graces, ὦ πότνι' 'Αγλαΐα φιλησίμολπέ τ' Εὐφροσύνα, θεῶν κρατίστου παῖδες O. 14. 14.

εὔφρων] (-ων, -ον(α), -ονες; -όνων, -ονα. ἐύφ'ρονα dub. Πα. 6. 179.) a. α. of gods, *gracious, kind* ἀλλ' ὦ Κρόνιε παῖ 'Ρέας, — εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον O. 2. 14. θεὸς εὔφρων εἴη λοιπαῖς εὐχαῖς O. 4. 12. νιν εὔφρων δέξεται P. 9. 73. β. of men, *merry* [εὔφρονος Κάδμοιο (Π: εὐθρόνοις codd.) O. 2. 22.] ἔνθα μιν εὔφρονες ἶλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται N. 5. 38. ἐύφ[ρον]α λαόν (dubitanter coni. Erbse) Πα. 6. 179. τὶν γὰρ εὔφρων ἕψεται πρῶτα θυγάτηρ ὁδοῦ Παρθ. 2. 67. b. of things, *kindly, benevolent* Μοῖρ', ἅ τε πατρώιον τῶνδ' ἔχει τὸν εὔφρονα πότμον O. 2. 36. πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις O. 7. 63. ἐκάλει νύκτας τε καὶ πόντου κελεύθους ἅματά τ' εὔφρονα pr. P. 4. 196. ὁ δὲ λοιπὸς εὔφρων ποτὶ χρόνος ἕρποι pr. N. 7. 67. [εὐφρόνων — πόνων (εὐφόρων v. l.) N. 10. 24.] εὔφρον' ἐς οἶκον Πα. 6. 115. c. frag. ]εὔφρων γαρ[ P. Oxy. 1892. fr. 41. d. adv. εὐφρόνως, *joyfully* δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως P. 10. 40.

ἀοίδιμος, -ον] a. *of song* ἐγὼ τόδε τοι πέμπω μεμιγμένον μέλι λευκῷ σὺν γάλακτι — πόμ' ἀοίδιμον Αἰολίσσιν ἐν πνοαῖσιν αὐλῶν N. 3. 79. ἐν ζαθέῳ με δέξαι χρόνῳ ἀοίδιμον Πιερίδων προφάταν (ἀοιδίμων Π².) Πα. 6. 6. b. *renowned in song* ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι Χάριτες 'Ερχομένου O. 14. 3. γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον P. 8. 59. ὦ ταὶ λιπαραὶ καὶ ἰοστέφανοι καὶ ἀοίδιμοι — κλειναὶ 'Αθᾶναι fr. 76. 1.

ἄνω] *accomplish* pass. ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς (i. e. impers., *there is accomplishment for prayers*) O. 8. 8. σὺν γὰρ ὑμῖν τά τε τερπνὰ καὶ τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς (Kayser: τὰ γλυκέα γίνεται codd.) O. 14. 6.

ἄνω] *up* met. αἵ γε μὲν ἀνδρῶν πόλλ' ἄνω τὰ δ' αὖ κάτω — κυλίνδοντ' ἐλπίδες O. 12. 6.

ἀνύω] [a. act., *kill* Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων (Boeckh e Σ: ἄυσεν codd.) P. 12. 11.] b. med., *accomplish* θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται P. 2. 49.

**εὐχά]** *prayer* θεὸς εὔφρων εἴη λοιπαῖς εὐχαῖς O. 4. 13. τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν P. 9. 89. "νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις λίσσομαι" I. 6. 44.

**εὔχειρ]** *deft of hand* τόνδ' ἀνέρα δαιμονίᾳ γεγάμεν εὔχειρα, δεξιόγυιον of the wrestler Epharmostos O. 9. 111.

**εὔχομαι]** (εὔχομαι, -εαι, -εται, -ονται; εὐχοίμαν; εὐχόμενον: impf. εὔχοντο: aor. εὔξατο; εὔξασθαι.) **a.** *pray* followed by various constructions. **α.** abs. Χάριτες —, κλῦτ', ἐπεὶ εὔχομαι O. 14. 5. ]γὰρ εὔχομαι Δ. 1. 15. c. cogn. acc., εἴ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος P. 3. 2. **β.** c. acc., *pray for* χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον, ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαι (Wackernagel: καλύψαιμ' codd.) N. 8. 37. **γ.** c. (acc. &) inf., *pray, hope that* Τυνδαρίδαις τε φιλοξείνοις ἁδεῖν — εὔχομαι O. 3. 2. εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ νέμεσιν διχόβουλον μὴ θέμεν (sc. Δία) O. 8. 86. ἀλλ' εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ οἶκον ἰδεῖν P. 4. 293. εὔχομαι νιν (= Δία) 'Ολυμπίᾳ τοῦτο δόμεν γέρας ἐπὶ Βάττου γένει P. 5. 124. ὦναξ, ἑκόντι δ' εὔχομαι νόῳ κατά τιν' ἁρμονίαν βλέπειν (sc. σε) P. 8. 67. ἄφωνοί θ' ὡς ἕκασται φίλτατον παρθενικαὶ πόσιν ἢ υἱὸν εὔχοντ', ὦ Τελεσίκρατες, ἔμμεν (sc. σε, i. e. they wished that you were) P. 9. 100. Ζεῦ πάτερ, εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν N. 9. 54. τοίαισιν ὀργαῖς εὔχεται ἀντιάσαις 'Αΐδαν γῆράς τε δέξασθαι πολιὸν ὁ Κλεονίκου παῖς I. 6. 15. ]α μὲν γὰρ εὔχομαι[ — ]θέλοντι δόμεν[ Πα. 16. 3. cf. N. 8. 37. **δ.** dat., + acc. & inf. φιλέων δ' ἂν εὐχοίμαν Κρονίδαις ἐπ' Αἰολάδᾳ καὶ γένει εὐτυχίαν τετάσθαι ὁμαλὸν χρόνον Παρθ. 1. 11. **b.** *avow* c. (acc. &) inf. τοὶ δ' οὔτ' ὦν ἀκοῦσαι οὔτ' ἰδεῖν εὔχοντο O. 6. 53. "ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι πατρίδ' ἔμμεν;" P. 4. 97. inf. suppressed, τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς εὔχονται, τὸ δ' 'Αμυντορίδαι ματρόθεν 'Αστυδαμείας (sc. εἶναι. ἀντὶ τοῦ καυχῶνται. Σ.) O. 7. 23. Πανελλάδος, ἄν τε Δελφῶν ἔθνος εὔξατο λιμοῦ[ Πα. 6. 64. ἐμὲ δ' ἐξαίρετον κάρυκα σοφῶν ἐπέων Μοῖσ' ἀνέστασ' 'Ελλάδι καλλιχόρῳ εὐχόμενον βρισαρμάτοις[ (sc. Θήβαις) Δ. 2. 26. c. frag. ]ος ευχομ[ P. Oxy. 1792. fr. 39.

**εὔχορδος, -ον]** *well strung, melodious* ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν N. 10. 21.

**εὖχος]** *vaunt (of triumph), triumph* ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών O. 10. 64. εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλών, δέδεξαι τόνδε κῶμον ἀνέρων P. 5. 21. πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων εὖχος ἀγώνων ἄπο N. 6. 59.

**εὐχωλά]** *prayer* Ξενοφῶν τελέαις — εὐχωλαῖς ἰανθεὶς *at the fulfilment of his prayers* fr. 122. 20.

**μελέτα]** (-α, -ᾳ, -αν; -αις.) **a.** taking pains, *resolution, diligence* ἐν θυμῷ πιέσαις χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ O. 6. 37. ἕπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν N. 6. 54. Λάμπων δὲ μελέταν ἔργοις ὀπάζων 'Ησιόδου μάλα τιμᾷ τοῦτ' ἔπος (v. 'Ησίοδος) I. 6. 66. **b.** object of care, *concern, preoccupation* μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει μελέτα O. 9. 107. μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι (sc. ἥροες: *matter for thought*) I. 5. 28. pl., Λυδῷ γὰρ 'Ασώπιχον ἐν τρόπῳ ἐν μελέταις τ' ἀείδων ἔμολον *among my (poetic) preoccupations* O. 14. 18.

**μέλημα]** **a.** *care* γλυκύ τι κλεπτόμενον μέλημα Κύπριδος. fr. 217. **b.** *object of care*; of people, *darling* τὸν 'Ιπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς ἕκατι στεφάνων θαητὸν ἐν ἅλιξι θησέμεν ἐν καὶ παλαιτέροις, νέαισίν τε παρθένοισι μέλημα P. 10. 59. σεμνᾶν Χαρίτων μέλημα τερπνόν (sc. Πάν) fr. 95. 4.

**σεισίχθων]** *earth shaking* epith. of Poseidon. ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν — κελαδῆσαι I. 1. 52.

**σείω]** *shake* ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις P. 4. 272. οὕτω δὲ καὶ πίτνει χαμαί, ἀποτρόπῳ γνώμᾳ σεσεισμένον (sc. βροτῶν τὸ τερπνόν) P. 8. 94.

**σελάνα]** *moon* ἐν δ' ἕσπερον ἔφλεξεν εὐώπιδος σελάνας ἐρατὸν φάος O. 10. 75. test., Σ Theocrit., 2. 10b, Πίνδαρός φησιν ἐν τοῖς κεχωρισμένοις τῶν παρθενείων, ὅτι τῶν ἐραστῶν οἱ μὲν ἄνδρες εὔχονται ⟨παρ⟩εἶναι Ἥλιον, αἱ δὲ γυναῖκες Σελήνην fr. 104.

**σέλας]** *flash* σέλας δ' ἀμφέδραμεν λάβρον Ἁφαίστου P. 3. 39. χρῆν ἄρα Πέργαμον εὐρὺν ἀιστῶσαι σέλας αἰθομένου πυρός Πα. 6. 97. κελαινεφέι δὲ σκότει καλύψαι σέλας καθαρὸν ἁμέρας fr. 108b. 4. met., ]ν ὕμνων σέλας ἐξ ἀκαμαν[το Πα. 18. 5. ὀμμ]άτων ἄπο σέλας ἐδίνασεν Πα. 20. 13.

**σέλινον]** *wild parsely* from which were made crowns for Isthmian victors. δύο δ' αὐτὸν ἔρεψαν πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν φανέντα O. 13. 33. Ὀρσοτριαίνα ἵν' ἐν ἀγῶνι βαρυκτύπου θάλησε Κορινθίοις σελίνοις N. 4. 88. Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ πέμπεν ἀναδεῖσθαι σελίνων I. 2. 16. Ἴσθμιον ἂν νάπος Δωρίων ἔλαχεν σελίνων I. 8. 64.

**Σεμέλα]** (cf. Θυώνα.) daughter of Kadmos, mother of Dionysos. ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ κεραυνοῦ τανυέθειρα Σεμέλα O. 2. 26. Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις, Ἰνὼ δὲ P. 11. 1. [Σεμέλην secl. edd. ut gloss. fr. 75. 12.] οἰχνεῖ τε Σεμέλαν ἑλικάμπυκα χοροί fr. 75. 19.

**σεμνός]** (-όν, -ούς; -ᾷ, -άν, -ᾶν; -όν nom., acc., -ῶν, -οῖς.) a. of gods and heroes, *august, revered* Ἡρακλέης σεμνὸν θάλος Αἰακιδᾶν O. 6. 68. σεμνᾶν Χαρίτων ἄτερ O. 14. 8. σεμνὰν θεὸν P. 3. 79. σεμνὰν Θέτιν N. 5. 25. σεμ]ναὶ Χάριτε[ς (supp. Snell) Πα. 3. 2. σεμνᾷ — Ματέρι πὰρ μεγάλᾳ (σοι v. l. ap. Strab.) Δ. 2. 8. σεμνᾶν Χαρίτων fr. 95. 4. b. of things, *sacred, hallowed* ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεὸν — καὶ σεμνοὺς ὀχετοὺς O. 5. 12. Ἰδαῖόν τε σεμνὸν ἄντρον O. 5. 18. σεμνὰν θυσίαν θέμενοι O. 7. 42. σεμνόν τ' — ἀκρωτήριον Ἄλιδος O. 9. 6. "σεμνὸν ἄντρον, Φιλλυρίδα, προλιπὼν" P. 9. 30. ἄμπνευμα σεμνὸν Ἀλφεοῦ N. 1. 1. σεμνὸν αἰνήσειν νόμον N. 1. 72. σεμνὸν — Πυθίου θεάριον N. 3. 69. ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ σεμνὸν ἔπεστί τι N. 7. 23. ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι N. 8. 13. ἐν σεμνοῖς δαπέδοις i. e. at Nemea N. 10. 28. Θέμιν — Μοῖραι ποτὶ κλίμακα σεμνὰν ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν fr. 30. 3. σε]μνὸν αν[ Παρθ. 2. 59. σεμνῶν ἀδύτων fr. 95. 2.

**Σέριφος]** the island Περσεὺς ὁπότε τρίτον ἄυσεν κασιγνητᾶν μέρος ἐνναλίᾳ Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων P. 12. 12.

**σεύομαι]** (aor. σύτο: pf. ἔσσυται; ἐσσύμενοι, -μένα; -μένως.) *speed*. ὅτε παρ' Ἀλφεῷ σύτο δέμας ἀκέντητον ἐν δρόμοισι παρέχων (sc. Φερένικος) O. 1. 20. ἔσσυταί τε Μοισαῖον ἅρμα Νικοκλέος μνᾶμα πυγμάχου κελαδῆσαι I. 8. 61. esp. part., ἐσσύμενοι δ' εἴσω κατέσταν P. 4. 135. [σευόμενοι (γευόμενοι v. l.) I. 1. 21.] τοὶ δ' ἐπίμπλαν ἐσσύμενοι πίθους *fr. 104b. 3.* c. cogn. acc., ⟨τί δ'⟩ ἔθηκας ἀμάχανον ἰσχύν τ' ἀνδράσι καὶ σοφίας ὁδόν, ἐπίσκοτον ἀτραπὸν ἐσσυμένα; (sc. ἀκτὶς ἀελίου) Πα. 9. 5. adv., ἐσσυμένως ἀπὸ μὲν λευκὸν γάλα χερσὶ τραπεζᾶν ὤθεον fr. 166. 3.

**σής]** *moth* κεῖνον οὐ σὴς οὐδὲ κὶς δάπτει fr. 222. 2.

**Σθένελος]** father of Eurystheus, king of Tiryns. Σθενέλοιό μιν υἱὸς κέλευσεν fr. 169. 44.

**σθένος]** (-ος, -ει, -ος.) a. *strength* α. of the human body. τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει P. 10. 24. πράσσει γὰρ ἔργῳ μὲν σθένος, βουλαῖσι δὲ φρὴν N. 1. 26. καὶ σθένει γυίων ἐρίζοντι

θρασεῖ N. 5. 39. (ἄκων) ὃς ἐξέπεμψεν παλαισμάτων αὐχένα καὶ σθένος ἀδίαντον N. 7. 73. σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει N. 10. 48. φέρει γὰρ Ἰσθμοῖ νίκαν παγκρατίου, σθένει τ' ἔκπαγλος ἰδεῖν τε μορφάεις I. 7. 22. ἐν ἔργμασιν δὲ νικᾷ τύχα οὐ σθένος fr. 38. Ἰάλεμον ὠμοβόλῳ νούσῳ πεδαθέντα σθένος Θρ. 3. 10. σθένει κραιπνοὶ σοφίᾳ τε μέγιστοι ἄνδρες fr. 133. 4. add. gen., ἀγωνίας δ' ἕρκος οἷον σθένος P. 5. 113. β. *(natural) strength, power, force* χθόνα μὲν κατακλύσαι μέλαιναν ὕδατος σθένος O. 9. 51. "σθένος ἀελίου χρύσεον λεύσσομεν" P. 4. 144. (ἄρουραι) ἀναπαυσάμεναι σθένος ἔμαρψαν N. 6. 11. νιφετοῦ σθένος ὑπέρφατον (sc. φέρεις: of an eclipse of the sun) Πα. 9. 14. ὁπόταν τε χειμῶνος σθένει φρίσσων Βορέας ἐπισπέρχησ' *with its wintry strength* Παρθ. 2. 17. met., ἀρχαῖαι δ' ἀρεταὶ ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος N. 11. 38. εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις ἢ σθένει πλούτου I. 3. 2. b. c. gen., in periphrasis, *strong, powerful* ζεῦξον ἤδη μοι σθένος ἡμιόνων O. 6. 22. ὅταν — καταζευγνύῃ σθένος ἵππιον P. 2. 12. κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν P. 5. 34. τέκε· — Ἀλκμήνα διδύμων κρατησίμαχον σθένος υἱῶν P. 9. 86. τὸ πάντολμον σθένος Ἡρακλέος — ὑμνήσομεν; fr. 29. 4. c. frag. ]ν σθένος ἱεράν[ Πα. 3. 93.

**σῖγά]** (-ᾶς, -ᾷ.) *silence* ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν μὴ χαμαὶ σιγᾷ καλύψαι N. 9. 7. ἀλλ' ὅμως καύχαμα κατάβρεχε σιγᾷ I. 5. 51. ὁ δὲ μηδὲν ἔχων ὑπὸ σιγᾷ μελαίνᾳ κάρα κέκρυπται Παρθ. 1. 9. οὐδὲ σιγᾷ κατερρύη fr. 177b. ἔσθ' ὅτε πιστόταται σιγᾶς ὁδοί fr. 180. 2. μὴ σιγᾷ βρεχέσθω (Boeckh: μὴ κεῖται, μησὶ γὰρ codd.) fr. 240.

**σῖγάζω]** *silence* σειρῆνα δὲ κόμπον — κεῖνον, ὃς Ζεφύρου τε σιγάζει πνοὰς αἰψηρὰς Παρθ. 2. 16.

**σῖγᾱλός]** *silent* σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών P. 9. 92.

**σῖγάω]** (σιγᾷ; σιγῷμι; σιγάτω; σιγᾶν: pass. σιγαθέν: σεσιγαμένον.) a. abs., *be silent* καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι N. 5. 18. b. c. acc., *keep silent about* ἄνευ δὲ θεοῦ σεσιγαμένον οὐ σκαιότερον χρῆμ' ἕκαστον O. 9. 103. Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί; σιγᾷ οἱ στόμα N. 10. 29. μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν μηδὲ τούσδ' ὕμνους I. 2. 44. τὸ δὲ μὴ Δὶ φίλτερον σιγῷμι πάμπαν fr. 81 ad Δ. 2. θνᾴσκει δὲ σιγαθὲν καλὸν ἔργον (Barnes: δ' ἐπιταθὲν codd.) fr. 121. 4.

**σιδάρεος]** *of iron* τὸ πεπρωμένον οὐ πῦρ οὐ σιδάρεον σχήσει τεῖχος (Boeckh: -αροῦν codd.) fr. 232.

**σῑδᾱρίτας]** *iron clad* met. εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν ἐπαινῆσαι πόλεμον δεδόκηται (Heyne: σιδηρίταν codd., def. Forssman, 155) N. 5. 19.

**σίδᾱρος]** *iron* ὑπὸ στερεῷ πυρὶ πλαγαῖς τε σιδάρου *sword* O. 10. 37. ναῦν — τέλεσαν ἂν πλαγαὶ σιδάρου *hammer* P. 4. 246.

**σῑδᾱροχάρμας]** *delighting in steel* ἵππων τε σιδαροχαρμᾶν P. 2. 2.

**Σῐκελία]** the island. ἐν πολυμήλῳ Σικελίᾳ O. 1. 12. Σικελίας τ' ἔσαν ὀφθαλμός O. 2. 9. ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα (i. e. Τυφῶνος) P. 1. 19. κατένευσέν τέ οἱ χαίταις, ἀριστεύοισαν εὐκάρπου χθονὸς Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς N. 1. 15. ἀπὸ τᾶς ἀγλαοκάρπου Σικελίας ὄχημα δαιδάλεον ματεύειν fr. 106. 7.

**Σῐκῠών]** (-υών, -υῶνος: -ωνόθε: Σεκυconi. Schr.) city of the N. Peloponnese, where in honour of Apollo were held games called Pythia, whose foundation Pindar attributes to Adrastos, but Σ N. 9. 1 to Kleisthenes. Πέλλανά τε καὶ Σικυὼν καὶ Μέγαρ' O. 13. 109. κωμάσομεν παρ' Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι, τὰν νεοκτίσταν ἐς Αἴτναν N. 9. 1. ἐκ τᾶς ἱερᾶς Σικυῶνος N. 9. 53. Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις

σεβίζω] *revere* σεβίζομεν Κυράνας ἀγακτιμέναν πόλιν P. 5. 80. μελέταν δὲ σοφισταῖς Διὸς ἕκατι πρόσβαλον σεβιζόμενοι (sc. ἥρωες) I. 5. 29.

σέβω] *revere* αἰέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν O. 14. 12. μάλιστα μὲν Κρονίδαν — θεῶν σέβεσθαι P. 6. 25.

. . .

σεμνός] (-όν, -ούς; -ᾷ, -άν, -ᾶν; -όν nom., acc., -ῶν, -οῖς.) a. of gods and heroes, *august, revered* Ἡρακλέης σεμνὸν θάλος Αἰακιδᾶν O. 6. 68. σεμνᾶν Χαρίτων ἄτερ O. 14. 8. σεμνὰν θεὸν P. 3. 79. σεμνὰν Θέτιν N. 5. 25. σεμ]ναὶ Χάριτε[ς (supp. Snell) Πα. 3. 2. σεμνᾷ — Ματέρι

πὰρ μεγάλᾳ (σοι v. l. ap. Strab.) Δ. 2. 8. σεμνᾶν Χαρίτων fr. 95. 4. b. of things, *sacred, hallowed* ἀείδει μὲν ἄλσος ἁγνὸν τὸ τεὸν — καὶ σεμνοὺς ὀχετοὺς O. 5. 12. Ἰδαῖόν τε σεμνὸν ἄντρον O. 5. 18. σεμνὰν θυσίαν θέμενοι O. 7. 42. σεμνόν τ' — ἀκρωτήριον Ἄλιδος O. 9. 6. "σεμνὸν ἄντρον, Φιλλυρίδα, προλιπὼν" P. 9. 30. ἄμπνευμα σεμνὸν Ἀλφεοῦ N. 1. 1. σεμνὸν αἰνήσειν νόμον N. 1. 72. σεμνὸν — Πυθίου θεάριον N. 3. 69. ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ σεμνὸν ἔπεστί τι N. 7. 23. ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι N. 8. 13. ἐν σεμνοῖς δαπέδοις i. e. at Nemea N. 10. 28. Θέμιν — Μοῖραι ποτὶ κλίμακα σεμνὰν ἆγον Οὐλύμπου λιπαρὰν καθ' ὁδὸν fr. 30. 3. σε]μνὸν αν[ Παρθ. 2. 59. σεμνῶν ἀδύτων fr. 95. 2.

. . .

χᾰλεπός] a. of pers., *troublesome* χαλεπώτατοι ἄγαν φιλοτιμίαν μνώμενοι ἐν πόλεσιν ἄνδρες (χαλεπώτατοι Pindaro e Plut. tribuit Snell, cll. P. Oxy. 2245. 3;

verba Pindari cum ἄγαν incipere censebant edd. vulg.) fr. 210. b. c. inf., *difficult* χαλεπὰ δ' ἔρις ἀνθρώποις ὁμιλεῖν κρεσσόνων pr. N. 10. 72. c. n. pl. pro subs., *distress* δείκνυσι τερπνῶν ἐφέρποισαν χαλεπῶν τε κρίσιν (sc. the soul) fr. 131 b. 4. d. frag. χαλεπα[ fr. 260. 4.

κόλπος] (-ου, -ον; -ων, -οις.) *fold* a. *fold* of a robe. κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις O. 6. 31. b. *hollow, valley* Νεμέας — κατὰ κόλπον O. 9. 87. κόλποις παρ' εὐδόξοις Πίσας O. 14. 23. "Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν" P. 4. 49. ἀνεμοσφαράγων ἐκ Παλίου κόλπων P. 9. 5. c. *gulf* αἰθέρος ψυχρῶν ἀπὸ κόλπων ἐρήμου O. 13. 88.

κομῐδά] *rescue* πρίατο μὲν θανάτοιο κομιδὰν πατρός (sc. Ἀντίλοχος: *the rescue of his father from death*) P. 6. 39.

κομίζω] (κόμιζε; κομίζων, -οντες: impf. κόμιζε(ν): aor. ἐκόμιξαν, ἐκόμισαν; κόμισον; κομίξαις; κομίξαι, κομίσαι.) a. *bring, carry back* τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος Ἑλέναν κόμιζοντες O. 13. 59.

ἄνδρ' ἐκ θανάτου κομίσαι ἤδη ἁλωκότα P. 3. 56. "κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι Φρίξος" P. 4. 159. σώματα δὲ παρὰ Κρονίδαν Κένταυρον ἀσθμαίνοντα κόμιζεν sc. Achilles N. 3. 48. ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς ἂν ναυσὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ πρὸς Ἴλου πόλιν (sc. Αἴαντα) N. 7. 28. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι οὔ μοι δυνατόν N. 8. 44. fig., τέσσαρας ἐξ ἀέθλων νίκας ἐκόμιξαν N. 2. 19. b. *preserve* Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ πόλιν τάνδε κόμιζε P. 8. 99. παροιχομένων γὰρ ἀνέρων, ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν (Tricl.: ἐκόμιξαν codd.) N. 6. 30. "ἱκόμαν οἴκαδ', ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ — τιμάν" (ἀρχὰν ἀγκομίζων coni. Chaeris) P. 4. 106. add. pr. adj. εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον λοιπῷ γένει O. 2. 14. ἐν τεσσαράκοντα γὰρ πετόντεσσιν ἁνιόχοις ὅλον δίφρον κομίξαις P. 5. 51.

**κόρα, κούρα]** (κόρα, -ᾳ, -αν; -οι, -ᾶν, -αισι: κούρα, -ας, -ᾳ, -αν; -αις.) a. *daughter* esp. unmarried daughter. εὐθρόνοις Κάδμοιο κούραις O. 2. 23. "Κενταύρου με κοῦραι θρέψαν ἁγναί" P. 4. 103. μετὰ κόραισι Νηρῆος ἁλίαις O. 2. 29. ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας κοῦροι κορᾶν O. 9. 56. κόραι Πιερίδες Διός O. 10. 96. "φαμὶ γὰρ — Ἐπάφοιο κόραν ἀστέων ῥίζαν φυτεύσεσθαι" Libya P. 4. 14. ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα κούρᾳ θ' Ὑψέος εὐρυβία Cyrene P. 9. 13. Ἀνταίου μετὰ καλλίκομον μναστῆρες ἀγακλέα κούραν P. 9. 106. Λίβυς, ἁρμόζων κόρᾳ νυμφίον ἄνδρα P. 9. 117. Κάδμου κόραι P. 11. 1. Δαρδανίδα κόραν Πριάμου Κασσάνδραν P. 11. 19. Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν N. 10. 1. βαθύζωνοι κόραι χρυσοπέπλου Μναμοσύνας Muses I. 6. 74. [κού[ρα] (supp. Reitzenstein i. e. Zeuxippe: κοῦ[ρος] Snell) fr. 51b.] Λατοίδαν θαμινὰ Δελφῶν κόραι — μελπόμεναι Πα. 6. 16. Μναμοσύνᾳ κόραισί τ' Muses Πα. 7B. 16. κόρα μιγεῖσ' Ὠκεανοῦ Μελία Πα. 9. 43. Δωρίδος [πε]ντήκο[ντα κο]ύραις (supp. Lobel: i. e. Nereids) Θρ. 4. 5. b. *unmarried girl* ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ σύγγονοι κούραν Koronis, pregnant by Apollo P. 3. 39. Ματρί, τὰν κοῦραι παρ' ἐμὸν πρόθυρον σὺν Πανὶ μέλπονται P. 3. 78. "κούρας δ' ὁπόθεν γενεὰν ἐξερωτᾷς" P. 9. 43. μάντιν τ' ὄλεσσε κόραν Kassandra P. 11. 33. φορβάδων κορᾶν ἀγέλαν ἑκατόγγυιον the temple prostitutes of Aphrodite at Korinth fr. 122. 19. esp. of Pallas Athene, πατρί τε — κόρᾳ τ' ἐγχειβρόμῳ O. 7. 43. κούρα — Παλλὰς O. 13. 65. Ἥρας πόσιν τε πειθέμεν κόραν τε γλαυκώπιδα N. 7. 96.

**σειρήν]** (cf. Κηληδών.) subs., adj., *siren* fig. of eloquence. σειρῆνα δὲ κόμπον αὐλίσκων ὑπὸ λωτίνων μιμήσομ' ἀοιδαῖς κεῖνον, ὃς Ζεφύρου τε σιγάζει πνοὰς αἰψηρὰς Παρθ. 2. 13. οὐδὲ πελέκεις οὐδὲ σειρήν (cf. Σ, ταῦτα πρὸς τὸν Σιμωνίδην ἐπεὶ ἐκεῖνος ἐν ἑνὶ ᾄσματι ἐπόησεν Σειρῆνα τὸν Πεισίστρατον: "illum neque secures Pisistrati tyranni neque eloquentia movit," interpr. Turyn) ?fr. 339.

**κωμάζω]** (κώμαζ(ε); κωμάζοντ(α), -οντι: fut. med. pro act., κωμάσομαι, -άξομαι: aor. κώμασαν; subj. -άσομεν; κωμάξατε; κωμάσαις.) a. abs., *hold a triumphal procession.* κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις O. 9. 4. κωμάζοντι σὺν Ἀρκεσίλᾳ P. 4. 2. κωμάσομεν πὰρ Ἀπόλλωνος Σικυωνόθε, Μοῖσαι, τὰν νεοκτίσταν ἐς Αἴτναν (χορεύσωμεν καὶ ὑμνήσωμεν Σ.) N. 9. 1. χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι I. 3. 8. κώμαζ' ἔπειτεν ἀδυμελεῖ σὺν ὕμνῳ καὶ Στρεψιάδᾳ I. 7. 20. b. *celebrate (a person, event) with a victory hymn, or procession.* τὸν (= Δία), ὦ πολῖται, κωμάξατε Τιμοδήμῳ σὺν εὐκλέι νόστῳ. ἀδυμελεῖ δ' ἐξάρχετε φωνᾷ N. 2. 24. ἀδεῖαί γε μὲν ἀμβολάδαν ἐν τελεταῖς δὶς Ἀθαναίων μιν (= Θεαῖον) ὀμφαὶ κώμασαν N. 10. 35. σὺν Ὀρσέᾳ δέ νιν κωμάξομαι, τερπνὰν ἐπιστάζων χάριν (κωμάζομαι v. l.) I. 4. 72. τοῖσι (i. e. in honour of Herakles and Iphikles) τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι παθὼν ἐσλόν P. 9. 89. πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον κωμάσαις sc. Aristagoras N. 11. 28.

**κῶμος]** (-ου, -ῳ, -ον, -ων.) *victory procession, triumph of a victor* Οὐλυμπιονίκαν δέξαι Χαρίτων θ' ἕκατι τόνδε κῶμον O. 4. 9. ἀνδρὶ κώμου δεσπότᾳ O. 6. 18. σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον O. 6. 98. τόνδε κῶμον καὶ στεφανοφορίαν δέξαι O. 8. 10. ἰδοῖσα τόνδε κῶμον ἐπ' εὐμενεῖ τύχᾳ κοῦφα βιβῶντα O. 14. 16. κῶμόν τ' ἀέθλων Πυθίων αἴγλαν στεφάνοις P. 3. 73. δέδεξαι τόνδε κῶμον ἀνέρων P. 5. 22. ἐστεφανωμένον υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ P. 8. 20. κώμῳ μὲν ἀδυμελεῖ Δίκα παρέστακε P. 8. 70. (κρατῆρα), γλυκὺν κώμου προφάταν N. 9. 50. οὐκ ἀγνῶτες ὑμὶν ἐντὶ δόμοι οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν, οὔτε μελικόμπων ἀοιδᾶν I. 2. 31. esp., the triumph song sung in conjunction with the procession, μεγαλᾶν δ' ἀρετᾶν δρόσῳ μαλθακᾷ ῥανθεισᾶν κώμων ὑπὸ χεύμασιν (κώμων θ' codd.: θ' del. byz.: ὕμνων coni. Pauw, Beck) P. 5. 100. μελιγαρύων τέκτονες κώμων νεανίαι N. 3. 5. Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας Πυθέᾳ τε κώμων I. 6. 58. Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον εὔδοξον, ὦ νέοι, καμάτων — ἰὼν ἀνεγειρέτω κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ ἀέθλων ὅτι κράτος ἐξεῦρε I. 8. 4.

**χαλκάρμᾰτος]** *with bronze chariot* epith. of Ares "χαλκάρματος — πόσις 'Αφροδίτας" P. 4. 87.

**χάλκασπις]** *with bronze shield* χαλκάσπιδες ὑμέτεροι πρόγονοι (of the Opuntians) O. 9. 54. χαλκάσπιδα Πυθιονίκαν — Τελεσικράτη (in the hoplite race) P. 9. 1. χάλκασπις — Ἄρης I. 7. 25.

**χαλκέλᾰτος]** *forged of bronze* χαλκελάτῳ πελέκει O. 7. 36.

**χαλκεντής]** *bronze-armed* Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων (Er. Schmid: χαλκέων τε, χαλκεντέων codd.) N. 11. 35, met. πολέμου — χαλκεντέος N. 1. 16.

**χάλκεος]** (-εος, -έῳ, -εον, -εοι, -έοις; -εας, -έᾳ, -έαις; -εον acc., -έοις, -έοισι.) *of bronze* "πέδασον ἔγχος Οἰνομάου χάλκεον" O. 1. 76. χαλκέοισι δ' ἐν ἔντεσι O. 4. 22. τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα — Φάλαριν P. 1. 95. χαλκέαις δ' ὁπλαῖς P. 4. 226. ἀκόντεσσίν τε χαλκέοις φασγάνῳ τε P. 9. 20. χαλκέοις σὺν ὅπλοις N. 1. 51. χαλκέοις ὅπλοισιν N. 9. 22. ἐν χαλκέοις ὅπλοις N. 10. 14. χαλκέας λόγχας ἀκμᾷ N. 10. 60. χάλκεον στονόεντ' ἀμφέπειν ὅμαδον (i. e. of bronze weapons and armour) I. 8. 25. χάλκεοι μὲν τοῖχοι χάλκ[εαί] θ' ὑπὸ κίονες ἕστασαν (of the third temple of Apollo at Delphi) Πα. 8. 68. of heaven (cf. χαλκόπεδος), ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ P. 10. 27. ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος μένει οὐρανός N. 6. 3. of Ares, cf. I. 8. 25, χάλκεος Ἄρης O. 10. 15. χαλ-

κέῳ τ' Ἄρει ᾆδον I. 4. 15. ἀγὼν τοι χάλκεος δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν (i. e. the Hekatombaia at Argos, in honour of Hera, where the prize was a bronze shield, cf. O. 7. 83) N. 10. 22. παρθένοι χαλ[κέᾳ] κελαδέοντι γλυκὺν αὐδᾷ [τρόπ]ον (i. e. ringing like bronze) Πα. 2. 100. frag. ]υ πόλιν χαλ̣κ̣έᾳ[ Πα. 14. 26.

**χαλκέοψ]** *brazen voiced* χαλκ]έοπ' αὐλῶν ὀμφάν (cf. Πα. 2. 100, P. 12. 25) Πα. 3. 94.

**χαλκεύω]** *forge* met. ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν P. 1. 86. ἐξ ἀδάμαντος ἢ σιδάρου κεχάλκευται μέλαιναν καρδίαν ψυχρᾷ φλογί fr. 123. 5.

**χαλκοάρᾱς]** (v. Leumann, Hom. Wörter, 66.) *bronze armed* αὔξομεν ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων (v. Wil., Herakles, 1. 81—2) I. 4. 63. καὶ στράταρχον Αἰθιόπων ἄφοβον Μέμνονα χαλκοάραν I. 5. 41. χα]λκοαρ̣[α (supp. Lobel) P. Oxy. 2445, fr. 32.

**χαλκόγενυς]** *with bronze jaws* "ἄγκυραν — χαλκόγενυν" P. 4. 24.

**χαλκοδάμας]** *bronze mastering* φαίης κέ νιν ἄνδρ' ἐν ἀεθληταῖσιν ἔμμεν Νάξιαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ' ἀκόναν (of Lampon, who trained his sons) I. 6. 73.

**χαλκοθώραξ]** *with bronze breastplate* Ἄβδηρε χαλκοθώραξ Πα. 2. 1. χαλκοθώ]ρᾱκος Ἐνυαλίου (supp. Lobel) fr. 169. 12. χαλ]κοθωράκων (supp. Lobel) ?fr. 349.

**χαλκοκορυστάς]** *with bronze helmets* χαλκοκορυ[στ]ὰν ὅμιλον ἐγείρων (-ᾶν Π: -ᾶν Ribezzo) Πα. 6. 108.

**χαλκόκροτος, -ον]** *with rattling bronze* χαλκοκρότου — Δαμάτερος (παρὰ τὰ ἐπικτυποῦντα ἐν ταῖς τελεταῖς τῆς Δήμητρος κύμβαλα Σ.) I. 7. 3.

**χαλκομίτ'ρας]** *with bronze belt* χαλκομίτρα Κάστορος (Σ: χαλκεομίτρα codd.) N. 10. 90.

**χαλκοπάρᾱος]** (-πάραος def. Forssman, 152) *with bronze cheeks* χαλκοπάρᾳον ἄκονθ' (Hermann: -πάραον, -πάρειον codd.) P. 1. 44. ἄκονθ' ὥτε χαλκοπάρᾳον (Hermann: -πάραον codd.) N. 7. 71.

**χαλκόπεδος, -ον]** *with bronze floor* χαλκόπεδον θεῶν ἕδραν I. 7. 44.

**χαλκόπῡλος]** *with gates of bronze* ὕδατι γὰρ ἐπὶ χαλκοπύλῳ — Κασταλίας (ἐπεὶ διὰ χαλκῶν λεοντοχασματίων ῥεῖ Σ.) Πα. 6. 7.

**χαλκός]** (-ός, -οῦ, -ῷ, -όν.) *bronze* (but the epithet πολιός suggests iron, P. 3. 48, P. 11. 20.) ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω μιν (the bronze shield, which was given as a prize at the Hekatombaia in Argos) O. 7. 83. κεφαλᾶν πολλᾶν νόμον — λεπτοῦ διανισόμενον χαλκοῦ θαμὰ καὶ δονάκων (i. e. a bronze mouthpiece) P. 12. 25. ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν ἐξελέγχειν (bronze prizes in the games) N. 10. 45. ὁ δ' ἄφαρ πλεκτόν τε χαλκὸν ὕπερη[. .]. ε τραπεζαν προβάτων ἀλυσιωτὸν δι' ἐρκέων *bronze chain* fr. 169. 26. esp., sword, spear, πολιῷ χαλκῷ μέλη τετρωμένοι P. 3. 48. Κασσάνδραν πολιῷ χαλκῷ — πόρευ' Ἀχέροντος ἀκτὰν παρ' εὔσκιον νηλὴς γυνά P. 11. 20. ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν N. 10. 70.

**χαλκότοξος, -ον]** *?with brazen arrows* "χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν" N. 3. 38.

**χαλκότορος]** *worked in bronze* "χαλκοτόροις ξίφεσιν" (v. l. χαλκοτέροισι) P. 4. 147.

**χαλκοχάρμας]** *delighting in bronze armour* χαλκοχάρμαι ξένοι Τρῶες Ἀντανορίδαι P. 5. 82. met., χαλκοχάρμαν ἐς πόλεμον I. 6. 27. χα]λκοχάρμαι (supp. Norsa-Vitelli) Πα. 6. 171.

**χαλκόω]** *arm in bronze* ἀναβαὶς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν O. 13. 86.

του — Λατοῦς (codd.: χρυσοπλοκάμου Hermann) N. 6. 36. χρυσαλάκατον Μελίαν fr. 29. 1. χρυσαλακάτου — Λατοῦς Θρ. 3. 1.

**χρῡσάμπυξ]** a. *with golden hairband* χ'ρυσάμπῦκα — Λάχεσιν O. 7. 64. χρυσαμπύκων — Μοισᾶν P. 3. 89, I. 2. 1. τὰς χρυσάμπῦκας ἀγλαοκάρπους τίκτεν ἀλαθέας Ὥρας fr. 30. 6. b. *with golden cheek-pieces* χρυσάμπῦκα — χαλινὸν (ἀντὶ τοῦ χρυσᾶ φάλαρα ἔχοντα Σ.) O. 13. 65.

**χρῡσάνιος]** *with golden reins* πότνια θεσμοφόρε χρυσάνιον (sc. Φερσεφόνα: cf. Paus., 9. 23. 3, ἐν τούτῳ τῷ ᾄσματι ἄλλαι τε ἐς τὸν Ἅιδην εἰσὶν ἐπικλήσεις καὶ ὁ χρυσήνιος) fr. 37.

**χρῡσάορος]** = χρυσάωρ. χρυ[σάορος] παῖς (supp. Snell: χρυ[σαο]ραις G-H: Σ Hom. in P. Oxy. 1087. 25: hic Σ adfert adiectivorum exx., quorum casus nom. eandem formam exhibet atque genetivus adj. primarii ab eadem radice ducti) fr. 330.

**χρῡσάρματος, -ον]** *with golden chariot* χρυσάρματος — Μήνα O. 3. 19. χρυσαρμάτου Κάστορος P. 5. 9. ὦ χρυσάρματοι Αἰακίδαι (τίμιοι κατὰ τὰ ἅρματα Σ.) I. 6. 19. cf. Σ, P. 2 inscr., καταφέρεσθαι — τὸν Πίνδαρον εἰς τὸ — τὰς Θήβας χρυσαρμάτους προσαγορεύειν (ad βρισαρμάτοις Δ. 2. 26 spectare putat Snell: potuit poeta singularem numerum usurpare, nott. Turyn) fr. 323.

**χρῡ́σασπις]** *with golden shield* χρύσασπι Θήβα I. 1. 1.

**χρῡσάωρ]** *with golden instrument* i. e. lyre χρυσάορα Φοῖβον P. 5. 104. Ὀρφέα χ'ρυσάορα Θρ. 3. 12.

**χρύσεος]** (-έῳ, -εον, -έων, -έων, -έοις: -έα, -έας, -έας, -έᾳ, -έαν, -έα, -εαι, -εᾶν, -έαισ(ι), -έαισ(ιν), -έας; -έῳ, -εον, -έων, -έων, -έοις: synizesis is allowed only when the first syllable is long: χρῡσ- occurs 10 times, O. 1. 87, P. 3. 73, P. 4. 4, 144, 231, P. 9. 56, P. 10. 40, N. 5. 7, I. 7. 49, Πα. 6. 92.) a. *golden* of things, i. e. made of, decorated with gold; esp. of that which belongs to the gods. θεὸς ἔδωκεν δίφρον τε χρύσεον πτέροισίν τ' ἀκάμαντας ἵππους O. 1. 87. χρυσέας ὑποστάσαντες — κίονας O. 6. 1. βρέχε θεῶν βασιλεὺς ὁ μέγας χρυσέαις νιφάδεσσι πόλιν (Tricl.: -έαισι codd.) O. 7. 34. χρυσέα φόρμιγξ P. 1. 1. χ'ρυσέοις τόξοισιν P. 3. 9. Κρόνου παῖδας βασιλῆας ἴδον χρυσέαις ἐν ἕδραις P. 3. 94. χρυσέαν — φιάλαν P. 4. 193. "ἄφθιτον στρωμνὰν ἀγέσθω, κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ" P. 4. 231. ἔνεικέ τε χρυσέῳ παρθένον ἀγροτέραν δίφρῳ (sc. Ἀπόλλων) P. 9. 6. "δώμασιν ἐν χρυσέοις (in Olympos) P. 9. 56. χρυσέων ἐς ἄδυτον τριπόδων θησαυρὸν P. 11. 4. φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων N. 5. 24. χρυσέων δ' Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν N. 8. 27. "οὐρανοῦ ἐν χρυσέοις δόμοισιν" N. 10. 88. χρυσέων οἴκων ἄναξ (sc. Ἡρακλέης) I. 4. 60. χάλκεοι μὲν τοῖχοι — χρύσεαι δ' ἓξ ὑπὲρ αἰετοῦ ἄειδον Κηληδόνες (of the third Delphic temple of Apollo) Πα. 8. 70. κεκρότηται χρυσέα κρηπὶς ἱεραῖσιν ἀοιδαῖς fr. 194. 1. μάλων χρυσέων φύλαξ (sc. Πίνδαρος) fr. 288. χρυσέων βελέων ἐντὶ τραυματίαι (of those greedy for gold) fr. 223. b. *gold* in colour "σθένος ἀελίου χρύσεον λεύσσομεν" P. 4. 144. ὦ χρυσέᾳ κόμᾳ θάλλων — Λοξία I. 7. 49. νέφεσσι δ' ἐν χρυσέοις Ὀλύμποιο Πα. 6. 92. τότε χρύσεαι ἀέρος ἔκρυψαν κόμαι ἐπιχώριον κατάσκιον νῶτον ὑμέτερον Πα. 6. 137. c. *magnificent, splendid,* of horses, χρυσέαισί τ' ἂν' ἵπποις (Er. Schmid: -αισίν ἀν', -έαις κἀν codd.) O. 1. 41. ἀν' ἵπποις χρυσέαις O. 8. 51. χρυσέαισιν ἵπποις fr. 30. 2. of crowns, κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας ἁδυμελῆ κελαδήσω O. 11. 13. δάφνᾳ τε χ'ρυσέᾳ κόμας ἀναδήσαντες P. 10. 40. Ὀλυμπιάδων φύλλοις ἐλαιᾶν χρυσέοις μιχθέντα N. 1. 17. of gods, χρύσεαι παῖδες εὐβούλου Θέμιτος O. 13. 8. ἀπὸ χ'ρυσεᾶν Νηρηίδων N. 5. 7. χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας I. 2. 26. αἰτέομαι χρυσέαν καλέσαι Μοῖσαν I. 8. 5. generally, ὑγίειαν ἄγων χρυσέαν P. 3. 73.

χρυσέων Διὸς αἰετῶν P. 4. 4. χρυσέα κλυτόμαντι Πυθοῖ Πα. 6. 1.

**χρῡσόθρονος, -ον]** *throned in gold* χρυσοθ'ρόνου — Κυράνας P. 4. 260. χρυσόθ'ρονον Ἥραν N. 1. 37. ματρί τε χρυσοθρόνῳ (Demeter) ?fr. 346c. 2.

**χρῡσόκαρπος]** *with golden fruit* καὶ χρυσοκάρποισιν βέβριθε ⟨δενδρέοις⟩ (supp. Wil.: χρυσέοις καρποῖς Boeckh: of the country of the blessed dead) Θρ. 7. 5.

**χρῡσόκερως]** *with golden, gilded horns* χρυσόκερων ἔλαφον θήλειαν O. 3. 29. κατὰ χρυσόκερω λιβανωτοῦ (sc. εὔχεσθαι: cf. Porphyr., de abstinentia, 2. 15, τοῦ Θετταλοῦ ἐκείνου ⟨τοῦ⟩ τοὺς χρυσόκερως βοῦς καὶ τὰς ἑκατόμβας τῷ Πυθίῳ προσάγοντος Σ, Aristid., 2. 91K, ὁ Πίνδαρος διασύρων τινὰ πλούσιον ὡς ἄγαν τρυφῶντα) fr. 329.

**χρῡσοκόμας]** epith. of Apollo, *golden haired* (cf. I. 7. 49.) Ἀπόλλων — ὁ χρυσοκόμας Πα. 5. 41. pro subs., ὁ χρυσοκόμας O. 6. 41, O. 7. 32.

**χρυσόπεζα]** (cf. ἀργυρόπεζα.) *with gilded feet* ]χρυσοπεζα[ (sc. Io ?) fr. 51f. b.

**χρῡσόπεπ'λος, -ον]** *with golden robe* χρυσοπέπλου Μναμοσύνας I. 6. 75.

**χρυσόπλοκος ?]** *with golden tresses* χ]άριν [ἀμ]φέπων χρυ[σο]π[ (supp. Lobel: χρυ[σο]π[λοκοις] (Μοίσαις) supp. Snell, negante Lobel) fr. 215b. 8.

**χρῡσόρᾰπις, χρυσόρραπις]** epith. of Hermes, *with golden wand* Ἑρμᾶς χρυσόραπις P. 4. 178. χρυσόρραπιν ὦρσεν Ἑρμᾶν Δ. 4. 37.

**χρυσός]** (-ός, -οῦ, -ῷ, -όν: χρῡσ-, but χρῦσ- N. 7. 78.) *gold* ὁ δὲ χ'ρυσὸς αἰθόμενον πῦρ ἅτε διαπρέπει νυκτὶ O. 1. 1. ἄνθεμα δὲ χρυσοῦ φλέγει O. 2. 72. κτεάνων δὲ χ'ρυσὸς αἰδοιέστατος O. 3. 42. πολὺν ὗσε χ'ρυσόν O. 7. 50. ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανείς P. 3. 55. πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει καὶ νόος ὀρθός P. 10. 67. υἱὸς Δανάας· τὸν ἀπὸ χ'ρυσοῦ φαμὲν αὐτορύτου ἔμμεναι P. 12. 17. ὁ χρυσὸς ἑψόμενος αὐγὰς ἔδειξεν ἁπάσας N. 4. 82. Μοῖσί τοι κολλᾷ χρῦσόν (i. e. τὸν ὕμνον) N. 7. 78. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι ἀπέραντον (sc. κτήσασθαι) N. 8. 37. τριπόδεσσιν ἐκόσμησαν δόμον καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ I. 1. 20. Θεία, σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων I. 5. 3. οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν I. 6. 40. ἢ χρυσῷ μεσονύκτιον νείφοντα δεξαμένα τὸν φέρτατον θεῶν (sc. Θήβα) I. 7. 5. βασανισθέντι δὲ χρυσῷ τέλος[ Πα. 14. 38. διδάξαμεν χρυσὸν καθαρᾷ βασάνῳ fr. 122. 16. Διὸς παῖς ὁ χρυσός fr. 222. 1. and so, a golden object, παῖς ἔπορεν δαμασίφρονα χρυσόν (cf. χρυσάμπυκα χαλινόν v. 65.) O. 13. 78.

**χρῡσοστέφᾰνος, -ον]** *crowned with gold* χρυσοστεφάνοιο — Ἥβας O. 6. 57. χρυσοστεφάνου δέ — Ἥβας P. 9. 109. μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων Οὐλυμπία O. 8. 1.

**χρῡσότοξος]** *with golden bow* χρυσότοξον — παρὰ Πύθιον Ἀπόλλωνα O. 14. 10.

**χρῡσοχαίτα]** *golden haired* ὁ χρυσοχαῖτα — Ἀπόλλων (Mosch.: -χαίτας codd.) P. 2. 16.

**χρῡσοχῖτων]** *with golden tunic* εὐάρματε χρυσοχίτων ἱερώτατον ἄγαλμα, Θήβα fr. 195.

**χρώς]** (χρωτί, χροί, χρῶτα.) **a.** *colour* (of the body) "ὦ τέκνον, ποντίου θηρὸς πετραίου χρωτὶ μάλιστα νόον προσφέρων" (i. e. the sea anemone, that matches its colour to the rocks) fr. 43. 2. **b.** *body* ἀσθενεῖ μὲν χρωτὶ βαίνων (sc. Φιλοκτήτας) P. 1. 55. ἦ μὰν ἀνόμοιά γε δᾳοισιν ἐν θερμῷ χροὶ ἕλκεα ῥῆξαν N. 8. 28. met., ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει (sc. φάμα παλαιά) I. 4. 23.

**χῠτός]** *liquid* καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις ἀνδράσιν πέμπων O. 7. 7.

**χώρα]** (-ας, -αν.) *land country* καὶ ῥά μιν χώρας ἀκλάρωτον λίπον, ἁγνὸν θεόν O. 7. 59. τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ' ἁλιερκέα χώραν παντοδαποῖσιν ὑπέστασε ξένοις κίονα δαιμονίαν (Aigina) O. 8. 25. ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν (Aitna) P. 1. 40. χαρίεντα δ' ἕξει